ἀκατάληκτον. τὸ ἕβδομον δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον, τῷ πρώτῳ ὅμοιον. ἄλλως. διπλῆ καὶ μέλος ἀμοιβαῖον οὗ ἀρχὴ τοῦθ᾽ ἕτερον αὖ μεῖζον. τέλος δὲ, καὶ τὸν λόγον τὸν ἥττω. ἔστι δὲ ἰαμβικὰ τρίμετρα ἀκατάληκτα τρία. καὶ τὸ πρῶτον ἰαμβεῖον τετρά- A μετρον καταληκτικόν. τινὲς δὲ διαιροῦσι τοῦτο εἰς δύο. ἐπειδὴ καὶ τὰ πρόσωπα κεχωρισμένα εἰσί καὶ γίνεται μεσῳδικὴ τρία ἑκατέρωθεν ἔχουσα κῶλα. τινὲς δὲ τὸ μέτρον τετράκωλον.

Ταυτὶ δι᾽ ὑμᾶς ὦ Νεφέλαι πέπονθ᾽ ἐγώ,
Ὑμῖν ἀναθεὶς ἅπαντα τἀμὰ πράγματα.
Χο. Αὐτὸς μὲν οὖν σαυτῷ σὺ τούτων αἴτιος,
B Στρέψας σεαυτὸν ἐς πονηρὰ πράγματα.
Στρεψ. Τί δῆτα ταῦτά γ᾽ οὔμοι τότ᾽ ἠγορεύετε;
Ἀλλ᾽ ἄνδρ᾽ ἄγροικον καὶ γέροντ᾽ ἐπήρατε.
Χο. Ἀεὶ ποιοῦμεν ταῦθ᾽ ἑκάστοθ᾽, ὅτ᾽ ἄν τινα
Γνῶμεν πονηρῶν ὄντ᾽ ἐραστὴν πραγμάτων.
Ἕως ἂν αὐτὸν ἐμβάλωμεν ἐς κακόν,
C Ὅπως ἂν εἰδῇ τοὺς θεοὺς δεδοικέναι.
Στρ. Οἴμοι, πονηρά γ᾽ ὦ νεφέλαι, δίκαια δέ.
Οὐ γάρ μ᾽ ἐχρῆν τὰ χρήμαθ᾽, ἃ ᾽δανεισάμην,
Ἀποστερεῖν. νῦν οὖν ὅπως, ὦ φίλτατε,
τὸν Χαιρεφῶντα τὸν μιαρὸν, καὶ Σωκράτη
Ἀπολεῖς, μετ᾽ ἐμοῦ γ᾽ ἐλθ᾽, οἳ σὲ κἄμ᾽ ἐξηπάτων.
Φειδ. Ἀλλ᾽ οὐκ ἂν ἀδικήσαιμι τοὺς διδασκάλους.
D Στρ. Ναὶ ναὶ, καταιδέσθητι πατρῷον Δία.
Φειδ. Ἰδού γε Δία πατρῷον, ὡς ἀρχαῖος εἶ.
Ζεὺς γάρ τις ἐστί; Στρεψ. ἔστιν. Φειδιπ. οὐκ ἔστ᾽, ἐπεὶ
Δῖνος βασιλεύει, τὸν Δί᾽ ἐξεληλακώς.
Στρ. Οὐκ ἐξελήλακ᾽, ἀλλ᾽ ἐγὼ τοῦτ᾽ ᾠόμην,
E Διὰ τουτονὶ τὸν Δῖνον. οἴμοι δείλαιος,
Ὅτε καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην.
Φει. Ἐνταῦθα σαυτῷ παραφρόνει, καὶ φλυάρει.

*O Nubes, hæc ego vestri causa, fero mala:*
*Dum vobis omnia mea mando negocia.*
CH. *At horum tute malorum tibimet auctor es:*
B *Quando tuum animum ad res applicuisti malas.*
ST. *Cur hæc mihi tum non dicebatis? quòd hominem*
*Me circumueniebatis rusticum & senem?*
CH. *Isthæc semper nos facere consueuimus: vbi*
*Aliquem videmus operam dare rebus malis:*
*Vt eum in aliquod magnum coniiciamus malum:*
C *Donec is addiscat patrios reu eri Deos.*
ST. *Hei mihi, Nubes, mala quidem isthæc, sed iusta sunt.*
*Non enim oportebat, fœnori quod sumseram,*
*Argentum, defraudando me interuertere.*
*Age, mi fili: age nunc mecum adesdum celeriter:*
*Vt Chærephôtem illum scelerosum & Socratem*
D *Perdas: qui & te, & me ludificârunt hactenus.*
PH. *Ego verò magistros haudquaquam affecero aliqua*
*Iniuria.* ST. *imò reuerere patrium Iouem.*
PH *Ecce autem patrium Iouem: vt delirus es.*
*Nam quis sit Iuppiter?* ST. *imò est.* PH. *non est Iuppiter:*
*Quandoquidē nunc turbo imperat, expulso Ioue.*
E ST. *Non est expulsus: sed ego rebar hoc ita*
*Ob isthunc Turbinem Deum, hei misero mihi,*
*Quod etiam te arbitratus sum ollarem Deum.*
PH. *Hîc tu tibiipse nugare, atque desipe.*

Σχόλια. Ταυτὶ δι᾽ ὑμᾶς.] ἐν ἐκθέσει ἴαμβοι τετράμετροι ἀκατάληκτοι μα. ὧν τελευταῖος ἐμοὶ ποιήσω καὶ σφόδρα εἰς ἀλαζόνες. εἶτα ἀναφώνημα τὸ ἰοὺ ἰού. καὶ πάλιν ἴαμβοι ιε. καὶ τελευταῖον τοῦ δράματος ἀναπαιστικὸν F τετράμετρον καταληκτικόν. ἐφ᾽ ᾧ κορωνὶς ἡ καὶ τὸ δράμα ἀποπεραίζεται. Ω φίλτατε.] λείπει τὸ υἱὲ ἢ παῖ. τὸ γὰρ ἐπιγράφεται. πρὸς τὸν υἱὸν μετέβη. Πατρῷον Δία.] πατρῷος Ζεὺς καὶ Ἀπόλλων ἐν Ἀθήναις τιμῶνται, ὁ Ζεὺς μὲν μετὰ τὴν ἐν Ἀρκαδίᾳ, ἢ ὡς ἕτεροι μετὰ τὴν ἐν Κρήτῃ ἀνατροφὴν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν. οἵτινες ταύτῃ τῇ προσηγορίᾳ τετιμήκασιν αὐτόν. Ἀπόλλων δὲ ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν. ἐξ ἧς γίνεται ὁ Ἴων. ὡς πρόγονον οὖν αὐτὸν G ἐτίμων καὶ οἱ ἄρχοντες ὅτε ἐχειροτονοῦντο. ἐκ γὰρ τοῦ μὴ εἰδέναι ξένους αὐτοὺς ἐνόμιζον. ἄλλως. οὕτω τιμᾶται παρ᾽ Ἀθηναίοις Ζεὺς πατρῷος καὶ Ἀπόλλων. διὰ τὸ πρώτους ὑποδέξασθαι τὼ θεὼ εἰς τὴν χώραν. καὶ θυσίας συντελέσαι κατὰ φρήτρας καὶ δήμους καὶ συγγενείας μόνους Ἑλλήνων. F Ἰδού γε Δία.] ἐξ ὧν ὁ πατὴρ ἐπελάβετο αὐτοῦ ἀνωτέρω, ἐκ τούτων καὶ αὐτὸς πειρᾶται τοῦ πατρὸς λαμβάνεσθαι. Διὰ τουτονὶ τὸν Δῖνον] ὡς ἀγάλματος Δίνου ὄντος ἐν τῇ διατριβῇ Σωκράτους ὀστρακίνου. Χυτρεοῦν.] τὸ ἐν τῷ φροντιστηρίῳ μηχάνημα ὀστράκινον περιφερὲς ὡς χύτραν ὠνοματοποίησεν. καὶ ὄνομα αὐτῷ ἔθετο χυτρεοῦν. τουτέστι μάταιον εὐτελές. χύτρας ἄξιον. ὡς ὀστρακίνου ἀγάλματος ὄντος πρὸ τῆς διατριβῆς.

BISETVS. Φληνάφει] Σ. φλήναφος, μωρολόγος. G φληναφία, μωρολογία. φληναφεῖν, μωρολογεῖν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ
Σκηνὴ τρίτη.
ΣΤΡΕΨΙΑΔΗΣ ΜΟΝΟΣ.

ACTVS V. SCENA III.

STREPSIADES SOLVS.